σούς τε γονεῖς τίμα τούς τ᾽ ἄγχιστ᾽ ἐγγεγαῶτας·
τῶν δ᾽ ἄλλων ἀρετῆι ποιεῦ φίλον ὅστις ἄριστος.
πραέσι δ᾽ εἶκε λόγοισ᾽ ἔργοισί τ᾽ ἐπωφελίμοισι.
μηδ᾽ ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνηι· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι, κρατεῖν δ᾽ εἰθίζεο τῶνδε,
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ. πρήξηις δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου
μήτ᾽ ἰδίηι· πάντων δὲ μάλιστ᾽ αἰσχύνεο σαυτόν.
εἶτα δικαιοσύνην ἀσκεῖν ἔργωι τε λόγωι τε,
μηδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε,